## Δεῖξις.

Εἰσὶ γὰρ πρὸς ζωὴν τῇ ψυχῇ ἐπανήκουσαι (Πρ. ΙΒ΄.). Ζωὴ δὲ πᾶσα ἐν ἐνεργείᾳ ἀδιαλείπτῳ ἐξ ἀρχῆς ζωτικῆς ἐμφύτου τῷ πράγματι ἐκπηγαζούσῃ (ὁρ. ί.) ἔχει τὸ εἶναι. Ἔμφυτοι ἄρα εἰσὶ τῇ ψυχῇ, ϗ οὐσιώδεις ἄρα αὐτῇ. Τὰ δὲ ἔμφυτα τῷ ὄντι, ϗ οὐσιώδη, οὐκ ἔστι μεταβατικά. Ἄρα αἱ διανοήσεις, κτ. Καταγέλαστος δ᾽ ἂν εἴη ὁ μὴ ἐμφύτους τῇ ψυχῇ τὰς διανοήσεις τιθέμενος, ἀλλ᾽ ἀπὸ ψυχῆς εἰς ψυχήν, ἢ γοῦν ἀπὸ τῆς ψυχῆς ἐπὶ τὸ σῶμα μεταβαινούσας οἰόμενος. Ἐπεὶ ἄρα τὸ τοιοῦτο ϗ ἐκ τῆς φύσεως τῆς ψυχῆς ἕπεται, ϗ κοινῇ ψήφῳ ὑπὸ πάντων τῶν φιλοσοφούντων πρεσβεύεται, ἡμῖν τοῖς ἐξ ὧν ἔχομεν ἰδεῶν φιλοσοφοῦσιν (αἴτ Α΄.) θετέον ὡς ἀξίωμα. Τοὐναντίον δὲ οὐδ᾽ αὐτὸς Ὠββέστιος εἴποι ἄν. Ἐπειδὴ γὰρ ἐκείνῳ συμβολή τις σωματικὴ τυγχάνει διανόησις πᾶσα, τελεῖται δὲ αὕτη ἔκ τινος τῶν καθ᾽ ἕκαστα, ὑπό τινος τῶν ἐκτὸς ἐνεργείας, καὶ ἐξ ἰδίας ἀντενεργήσεως, οὐκ ἂν ἄλλοθι οὐδαμοῦ εἴη αὕτη, ὅτι μὴ ἔνθα τελεῖται. Οὐδ᾽ ἡ αὐτὴ μία τὸν ἀριθμὸν συμβολὴ ἀπὸ ὑποκειμένου εἰς ὑποκείμενον μεταβαίη. Τῆς δὲ διδασκαλίας δὴ ταύτης ἥκιστα ἀπᾴδουσι, ϗ ὅσοις ἡ ψυχὴ δύναμις μέν ἐστιν ἀσώματος, διὰ παντὸς δὲ τοῦ σώματος διακεχυμένη, ϗ τῆς τούτου συστάσεώς τε ϗ κράσεως ἀπηρτημένη. Καὶ γάρ τοι ϗ κατ᾽ αὐτοὺς δὴ τούτους αἱ διανοήσεις διαθέσεις τυγχάνουσι τῶν καθ᾽ ἕκαστα, ἐν μὲν τῷ ὀργανικῷ σώματι ἐνιζάνουσαι, ἐκείνου δὲ διεζευγμέναι μηδόλως νοούμεναι.

## Πρότ. ΙΖ΄.

„Ἡ ἀνθρωπίνη ψυχὴ οὐκ ἔστι μία ϗ ἡ αὐτὴ τὸν ἀριθμὸν ἐπὶ πάντων „ἀνθρώπων.

## Δεῖξις.

Ἡ ἀνθρωπίνη ψυχὴ οὐσία τυγχάνει ἀσώματος (Πρ. ΙΓ΄.), ἧς ἔμμονοι αἱ ἐνέργειαι ϗ οὐσιώδεις (Πρ. Ιϛ΄.). Εἰ γοῦν μία ϗ ἡ αὐτὴ ἐν ἅπασιν, μία ϗ ἡ αὐτῆς διανοητικὴ δύναμις, ϗ ἡ αὐτὴ ἔσται ἐν ἅπασιν. Ἔνθεν τοι ϗ αἱ αὐταὶ ἐν ἅπασι διανοήσεις, ϗ τῶν διανοήσεων τάξις ἡ αὐτή, ϗ ἀριθμός, ϗ ἐνάργεια, ἢ ἀσάφεια, ϗ τάχος ἢ βραδύτης. Τὸ δὲ οὕτως οὐκ ἔχει οὐδὲ ἐπὶ τῶν αὐτῶν δῆθεν πραγμάτων. Οὐκ ἄρα ἡ ἀνθρωπίνη ψυχὴ μία τε κτ.

Παρὰ ταῦτα ϗ ὅπερ Ἀριστοτέλης παρέδωκε, ϗ πάντες οἱ μετ᾽ αὐτὸν ἀπεδέξαντο, τὸν νοῦν γίνεσθαί πως πάντα τὰ νοητά, ἤτοι τὰς νοο-



ΙΩΑΝΝΙΝΑ 2006

ρὰς ἰδέας, καὶ τὸν νῦν ἓν καὶ ταυτὸν εἶναι, οὕτως ἀληθῶς ἔχει, ὥστε μηδὲν ἴσως ἀληθέστερον εἰρηκέναι ποτὲ τὸν Πῖκον, ὅτι ὁ ἀμφιβάλλων, εἴπερ ἐκ τοῦ νοητοῦ ἑνὶ τελεῖται κυρίως τε καὶ οὐσιωδῶς οὐδὲν ἧττον, ἢ ἐκ τῆς ὕλης, καὶ τοῦ εἴδους, οὗτος οὐδὲ φιλόσοφος καλεῖσθαι ἂν εἴη δίκαιος. Γίνεται δὲ ὁ νοῦς οὐ πάντα κατὰ τὸ αὐτὸ τὰ νοητὰ, οὐδὲ πολλὰ ἅμα· οὐ γὰρ οὐδὲ ἀπείρου τυγχάνει δυνάμεως, οὐδ' οὕτω μεγάλης, ἀλλὰ τηλικαύτης, οἵα μόνη ἐπαρκεῖν τῇ ὀλιγαρίθμων ἰδεῶν κατὰ μίαν ἀποτελουμένῃ ἐπιβολῇ ὡς πειρώμεθα. Εἰ γοῦν μία ἦν ἡ ψυχὴ ἐν ἅπασιν, ἐγίνετ' ἂν κατὰ τὸ αὐτὸ τοσαῦτα νοητὰ, ὅσοι τυγχάνουσιν ἄνθρωποι, καὶ συνεπληθύνετ' ἂν ταῖς νοουμένοις.

## Σχόλιον.

Εἰσὶν οἱ μίαν τὴν διανοητικὴν δύναμιν ἐν ἅπασιν ἀνθρώποις τιθέμενοι, ἀλλὰ διαφόρως διατιθεμένην ἐπὶ ἑκάστου κατὰ διαφορὰν τῶν τε φαντασμάτων, καὶ τῶν αἰσθήσεων, καὶ τοῦ ἐγκεφάλου, κἀντεῦθεν ταῖς πολλοῖς δοκεῖν συμπολλαπλασιάζεσθαι, οἷα δὴ καὶ ἐπὶ τῶν δένδρων χυλὸς ὁ τούτων θρεπτικὸς, κατὰ τὸν ἐν αὐτοῖς διοργανισμὸν, εἰς φύλλα, καὶ ἄνθη, καὶ καρποὺς παντοίους διαπλάττεται, καὶ πνεῦμα τὸ αὐτὸ ὑπηχεῖ διαφόρως κατὰ τῶν αὐλῶν, οἷς ἐγχωρεῖ τὸ διάφορον. Ἀλλ' ἐπειδὴ τὸ νοεῖν ἐνέργεια τυγχάνει οὖσα τῶν ἐμμόνων, καὶ μὴ μεταβατικῶν, οὐκ ἂν μιᾶς καὶ τῆς αὐτῆς εἴη δυνάμεως, μόνοις τοῖς φαντάσμασι συμποικιλλομένη, ὡς ὀρθῶς τῷ Ἀκυνάτῃ ἀπήντηται (1).

Ἡ δὲ τῶν Ἀράβων δόξα μίαν εἶναι τὴν διανοητικὴν ψυχὴν ἐν ἅπασιν ἀνθρώποις βούλεται, ἥτις θέσις ἐστὶν Ἀβεῤῥόου παρ' Ἰωάννῃ τῷ Πίκῳ (2). Ἀμέλει τοι γὰρ ἡ μὲν ψυχὴ, καὶ ὁ παθητικὸς νοῦς, ὡς Ἀριστοτέλης ἐκάλεσεν, ἤτοι ὁ δυνάμει, ὡς οἱ Ἄραβες καὶ οἱ Σχολαστικοὶ, τοῖς πολλοῖς καὶ ποικίλοις ἀνθρώποις συμπληθύνεταί τε καὶ συμποικίλλεται. Ὁ δὲ ἐνεργητικὸς νοῦς, ὅς τις, ὡς φιλοσοφοῦσιν οἱ Ἄραβες, οὐσία ἐστὶ τοῦ παθητικοῦ νοῦ διακεκριμένη, εἷς ἐν πᾶσιν ἐστί. Καίτοι οὐδ' ὅπως τοῦτο ἔχει, σύμφωνα ἀποφαίνονται. Οἱ μὲν γὰρ νοῦν κτιστὸν εἶναι βούλονται τοῦτον δὴ τὸν ἐγκόσμιον, οἱ δὲ τὸν θεὸν αὐτὸν, οὕτω γὰρ δήπου ὁ Ἀλβουμαρὼν ἀποφαίνεται (3). Ὁ δὲ Θεμίστιος τοὺς μὲν δυνά-

---

(1) *Βιβλ. Β'. κατὰ Ἐθν. Κεφ. ΟΓ'.*

(2) *Ἐν τῇ Ἀπολογίᾳ σελ. 45.*

(3) *Παρ' Ἰωάν. τῷ Πίκῳ σελ. 45.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μει νόας, φησὶ, τοὺς μόνον φωτιζομένους εἶναι πολλοὺς, τοὺς δὲ ἐνεργητικοὺς, τοὺς κατὰ μετοχὴν φωτιζομένους τε, καὶ φωτίζοντας, πολλοὺς ὡσαύτως· τὸν δὲ ἐνεργητικὸν τὸν φωτίζοντα μόνον, ἕνα, εἶναι δὲ τὸν Θεόν (1). Ὃ ϗ τῇ Ἀριστοτέλους διδασκαλίᾳ συνῳδόν ἐστι, παρ' ᾧ τὸ θεῖον νοῦς ἐστιν ὁ τὸν κόσμον εἰδοποιῶν, ὡς ἀπέδειξεν Οὐάλχιος (2). Περὶ τούτου δὲ ϗ πλείω συνείλοχεν ὁ Βαΐλιος (3). Ἀλλὰ περὶ τούτων μὲν ϗ ἡμῖν ἐς ὕστερον διεξοδικώτερα προτεθείσεται. Ἤδη δὲ οὐκ οἶδ', εἴπερ ἡ ψυχὴ ἡ ἐγκόσμιος ϗ γενεσιουργὸς ἐκείνη, ἣν ὁ Καμπανέλλας εἰσῆγε, καὶ ὁ Κουδβόρτιος, συγγενής ἐστιν ἐκείνῳ τῷ νῷ τῷ κατὰ τοὺς Ἄραβας. Καὶ γὰρ ἔοικεν. Αὐτὸς μὲν οὖν, καίτοι ἐπιῤῥεπής εἰμι ἐπὶ τὸ δικάσαι ἐνεῖναι τινα τῇ σωματικῇ φύσει δύναμιν, τὴν διὰ πάντων διήκουσαν, ϗ πάντα συνέχουσαν, ἣν καὶ γενεσιουργὸν ἄντις ὀνομάζων οὐκ ἂν ἁμάρτοι, εἴτε πυρώδης ᾖ αὐτὴ τὴν φύσιν, εἴτε ϗ ἄλλη τις διαφέρουσα, τὴν οὐδὲ μικρὸν συντελοῦσαν εἰς ζωὴν, οὐδὲν ἧττον ἀνθρώποις, ἢ κτήνεσιν, ὥσπερ ϗ παμπλείσταις πείραις δειχθείη ἄν, εἴπερ ἐδέησεν. Ἀλλὰ γὰρ τὴν οὐσίαν ἐκείνην, ᾗ τινι διανοοῦμεν, τὴν ὡς ὑποκείμενόν τε ὑφισταμένην, ϗ ἀρχὴν οὖσαν τῶν ἡμετέρων ἐννοιῶν, κοινὴν εἶναι πάσῃ τῇ σωματικῇ φύσει, ἢ τοὐλάχιστον πᾶσιν ἀνθρώποις, οὕτως ἀνόητον οἶμαι ϗ κοῦφον, ὡς μηδὲ ἐλέγχου ϗ ἀνασκευῆς δεῖσθαι τὸ σύνολον.

## Πρότ. ΙΗ'.

Ἡ ἀνθρώπου ψυχὴ οὐκ ἔστιν αἰώνιος.

## Δεῖξις.

Τὸ γὰρ αἰώνιον ϗ ἀναγκαῖον τήν τε ὕπαρξιν, ϗ τὴν οὐσίαν (μέρ. Α'. Πρ. ΙΔ'.), ϗ ἀπειροτέλειον (αὐτ. Πρ. ΙΕ'.). Ἡ δὲ ψυχὴ οὐ τοιαύτη. Ἄρα, κτλ. Εἶτα τὸ αἰώνιον ϗ ἀναγκαῖον ὑπόκειται μὲν οὐδενὶ, πάσχειν δὲ ἄκον ὑπ' οὐδενὸς πέφυκε. Πάσχει δὲ ψυχὴ πολλὰ τοιαῦτα. Τελευταῖον δὲ ϗ τροπῇ ὑπείκει ψυχὴ, ϗ ἐνδεχομένη ἄρα (μέρ. Α'. Πρ. Ιϛ'.)· τὸ δὲ ἐνδεχόμενον οὐκ αἰώνιον.

## Σχόλιον.

,,Τὰς ἀνθρωπίνας ψυχὰς ἀπ' οὐρανοῦ κατενεχθῆναι, δόγμα ἦν ἀρχαῖον

---

(1) Παρὰ τῷ Πίκῳ Σελ. 49.

(2) Περὶ ἀθεΐσ. Ἀρισ. ἐν τοῖς ἀκαδημ. παρέργοις.

(3) Λεξ. ἄρθ. Ἀρισ. ϗ Ἀβερρ.



Ε.Γ.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

,, πάνυ Πυθαγόρου καὶ Πλάτωνος ὕστερον, καὶ Ὠριγένους ἔσχατον. Ἐξ αὐτῆς τῆς
,, Θεοῦ οὐσίας, μοίρας οἱονεὶ τυγχάνειν, οἵ τε Στωϊκοὶ, καὶ Μανιχαῖοι, καὶ οἱ
,, πρισκυλλιανισταὶ ὑπειλήφασιν. Ἐν τοῖς θησαυροῖς τοῦ Θεοῦ ἀποκειμένας τινὲς
,, τῶν ἐκ τῆς ἐκκλησίας ἐνόμισαν. Οἱ δὲ ὁσημέραι δημιουργεῖσθαι αὐτὰς ὑπὸ
,, Θεοῦ, καὶ ἐνίεσθαι τοῖς σώμασιν ἐξ αὐτῶν εἰδοποιηθησομένοις· κατὰ μετοχὴν
,, δὲ ὑπ' ἀλλήλων κοινωνεῖσθαι τὰς ψυχὰς Τερτυλλιανὸς, καὶ Ἀπολλινάριος, καὶ
,, τὸ πλεῖστον μέρος τῶν Δυτικῶν ἡγήσαντο," μαρτυροῦντος Ἱερωνύμου (1), τοῦ καὶ τὰς δόξας αὐτὰς καταλέγοντος. Πολλοὶ μὲν οὖν τούτων ἄλλοι ἄλλης προέστησαν, καθ' ἡμᾶς γεμὴν κοινῇ τὴν Δ'. ἀσπάζονται, ὑπερέστηκε δὲ τῆς πέμπτης σὺν πάνυ ὀλίγοις Οὔολφιος (2). Ὁ δὲ Αὐγουστῖνος περὶ ἀρχῆς τῆς ψυχῆς ἐν τέτταρσι βιβλίοις διείλεκται (3). Εἰ δὲ καὶ ἐπιῤῥεπὴς ὤφθη πρὸς τὴν δόξαν τὴν πέμπτην, οὕτω γεμὴν περὶ τούτου γέγραφεν, ὡς διὰ πλειόνων ἀποδεικνύειν, οὐδὲν ἀσφαλὲς οὐδὲ ἐξ ἀποκαλύψεως θείας, οὐδὲ ἐκ λόγων τοῦ φυσικοῦ, ἡμῖν παρεῖναι περὶ τοῦ πράγματος, ὃ καὶ Κλέρικος ἐν τῇ πνευματολογίᾳ κατασκευάζει. Οὐδεμία γὰρ ἡμῖν ἀρχὴ πάρεστι περὶ τοῦ τοιούτου, οὐδ' αἰσθήσει, οὐδὲ συνειδήσει, οὐδ' εἰκασίᾳ ἐρειδομένη, καὶ ἐν ταῖς ἱεραῖς γραφαῖς σιγῇ βαθυτάτῃ τὸ πρᾶγμα κεκάλυπται. Ἐν Ἑβραίοις δὲ οἱ ἀρχαιότεροι, καὶ ἐν τοῖς Χριστιανοῖς οἱ καθ' ἡμᾶς οἱ θεολογοῦντες, εἰς ποικίλας ὑπολήψεις ἐτράποντο (4). Τοῖς μὲν οὖν πάλαι κοινῇ ἤρεσκε τῶν καταλεχθεισῶν ἡ πρώτη δόξα, ἡ τῆς τῶν ψυχῶν δηλαδὴ προϋπάρξεως συνάμα τῷ δόγματι τῆς μετεμψυχώσεως. Ἀλλὰ τὴν μετεμψύχωσιν οὐχ ὅπως Ἕλληνες φιλόσοφοι, ἀλλὰ καὶ Αἰγυπτίων, καὶ Χαλδαίων, καὶ Περσῶν, καὶ Ἰνδῶν οἱ παῖδες συμφώνως ἦσαν διαπρεσβεύοντες, καὶ νῦν οὐχ ἥκιστα τῶν ἐθνῶν τὰ πλεῖω τῶν πρὸς ἥλιον ἀνίσχοντα τετραμμένων (5). Ὁ δὲ Μενασσὲχ βὲν Ἰσραὴλ, κοινὸν εἶναι τοῦτο τῶν Ἑβραίων φρόνημα βούλεται, ὑφ' ὧν καὶ πρὸς τ' ἄλλα τῶν ἐθνῶν μετοχετευθῆναι (6). Ἀμέλειτοι τοῖς Ἑβραίοις, οἷα δὴ καθηγεμόσι γενομένοις ἐθνῶν ἁπάντων, ὁ Ῥαββὶ δοξοκοπῶν, τὰς τῶν Καββαλιστῶν ἀνατίθησι φλυαρίας.

---

(1) *Τόμ. Δ. τῶν ποιημ. Σελ. 642. ἐκδ. Μαρτια.*
(2) Ἐν τῇ Ψυχολογ. τῇ λογ.
(3) Ὅρα καὶ *Βιβλ. Γ'. περὶ αὐτεξ. Κεφ. ΚΑ'.*
(4) Ὅρα *Καλμὲτ λεξ. Γραφ. Ἄρθ. περὶ ψυχ.*
(5) Ὅρα *Καλμ. αὐτ. Ἄρθ. μετεμψυχ.*
(6) *Βιβλ. Α'. περὶ Δημιουργ. Προβλ. ΙΕ'.*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Καὶ ἃ δὲ ἐν τῷ περὶ περιόδων ψυχῶν ἀναγινώσκεται (1), πολλοῦ γέλωτος ἄξια. "Νόες, ϗ πνεύματα, ϗ ψυχαὶ πᾶσαι, ἐν ἑνὶ τῷ πρωτοπλάστῳ Ἀδὰμ „δημιουργηθέντι ἐναπετέθη." Καὶ ἐν τῷ αὐτῷ Κεφ. §. ε΄. ὁ Συγγραφεὺς τῆς ἀπογυμνωθείσης Καββάλης ταῦτα παρατετήρηκεν. "Ἰστέον ὅτι κατὰ ἀρχαῖον „δόγμα Ἑβραίων, ἀντὶ τοῦ πρωτοπλάστου Ἀδὰμ, οὐχὶ πρόσωπόν τι ἄτομον „ἐννοεῖται, ἀλλὰ ψυχῶν γένος ὅλον, τάξεσι ϗ βαθμοῖς ποικίλοις διακρινό„μενον, καὶ ἐν εἴδει στρατοῦ ὑπὸ ἡγεμόνι τῷ Μεσσίᾳ διὰ σημείων, τοῖς ἀν„θρωπίνοις μέλεσιν ἐξομοιωμένων, διακυβερνώμενον. Καὶ τοῦτο δὴ τὸ σῶμα „νοεῖται τῷ Ἀποστόλῳ πρὸς Ἐφεσίους Δ΄. ΙΓ΄., ϗ ἀλλαχοῦ, ἔνθα ὁ Χριστὸς „κεφαλὴ ὑπ᾽ αὐτοῦ ὀνομάζεται (2)." Τὴν μὲν οὖν τῶν Πλατωνικῶν περὶ προϋπάρξεως τῶν ψυχῶν ἐν ταῖς ἄλλαις σφαίραις, ϗ περὶ τῆς ἐντεῦθεν καθόδου ἐν τοῖς σώμασι δόξαν, λόγῳ οὐκ ἀφυεῖ διασκώπτει καὶ ὁ Λουκρέτιος. "Τί γὰρ, „ὅτι φησὶν, οὐδενὸς τῶν ἐν τῇ προτέρᾳ ἐκείνῃ καταστάσει ἐπιμνησκόμεθα, οὐ„δέν τε ἴχνος τῶν πεπραγμένων ἐκεῖσε διακατέχομεν; Εἰ γὰρ οὕτως ἡ τῆς „ψυχῆς μετέβαλε δύναμις, ὥστε ἁπάσης τῆς τῶν γεγονότων μνήμης τέλεον „ἐκπεσεῖν, οὐ πάνυ τι τοῦτο, οἶμαι, πόῤῥω ἐστὶν ἀπέχον ϗ αὐτοῦ τοῦ θανάτου (3)." Ὁ δὲ Ἀρνόβιος εἰκότως διαπυνθάνεται τοὺς Πλατωνικοὺς, τίνος χάριν αἱ ἐν οὐρανῷ πρότερον οὖσαι ψυχαὶ τὰ σώματα οἰκεῖν κατεκρίθησαν; ἢ ἵνα, φησὶν, οἰκουμένην ϗ τὴν γῆν ἀναδείξωσιν, ἀπεστάλησαν ἀποικίαι; Ὅρα Ἀρνόβιον ἐν τῷ δευτέρῳ κατὰ τῶν ἐθνῶν πλεῖστα κατὰ τοῦ Πλατωνικοῦ συνείροντα δόγματος, ἃ παρίεμεν.

## Πρότ. ΙΘ΄.

„Ἡ ἀνθρωπίνη ψυχὴ οὐθ᾽ ὁ Θεός ἐστιν, οὔτε τοῦ Θεοῦ μέρος, οὐδὲ ἰδέα.

### Δεῖξις.

Α΄. Οὐ γὰρ οὐδὲ μία ἐστὶν ἐν ἅπασιν (Πρ. ΙΖ΄.), οὐδ᾽ αἰωνία (Πρ. ΙΗ΄.). Ὁ δὲ Θεὸς μοναδικὸς ϗ αἰώνιος, ἧ που ϗ αὐτοὶ δώσουσι, πρὸς οὓς ἡμῶν ἡ θέσις ἐπανατείνεται. Ἄρα κτ:.

Β΄. ϗ Γ΄. Ἔχει δὲ ϗ τὴν ὕπαρξιν ἡ ψυχὴ ἐνδεχομένην (Πρ. ΙΗ΄.). Τὸ

---

(1) *Μέρ. Α. Κεφ. Δ. §. β΄.*

(2) *Ὅρα Ἑυρίκ. Μόρου Τόμ. Β΄. σουημ. ἐν τῇ ἑρμην. τοῦ ὁράματος τοῦ Ἰεζεκ. ϗ Βουδ. εἰς τὴν Εἰσαγ. εἰς τὴν Ἱστορ. τῆς τῶν Ἑβρ. φιλοσ.* Σελ. 331.

(3) *Λουκρέτ. ἔπει 67. περὶ φύσ. πραγμ. Βιβλ. Γ΄.*

Ε.Υ.Δ.Ε.Π.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

δὲ τοιοῦτον οὐδὲ μέρος, οὐδ᾽ ἴδιον, οὐδὲ διάθεσίς τις ὅλως, ἢ τελειότης ἂν εἴη τῆς Θεοῦ οὐσίας, ἀναγκαίας τε οὔσης, καὶ αἰωνίου. Ἄρα κτ.

## Σχόλιον.

Οἱ ἐξ ἐθνῶν πεφιλοσοφηκότες, ἐπεὶ μηδὲν ὅλως οὐδ᾽ ἐκ μηδενὸς εἶναι, οὐδ᾽ εἰς τὸ μηδὲν ἀπολήγειν ἐνόμιζον, ἐκ τούτου αὐτὸν εἶναι τὸν Θεὸν τὰς ψυχὰς ἐπέφερον, τὸν διὰ πάντων, καὶ ἐν πᾶσιν, ἢ τούτου μοῖραν τῆς ἀκηράτου φύσεως, ἢ δύναμιν, καὶ ἀποῤῥοήν, ὥστε τὰ μὲν σώματα τῆς αἰωνίου ὕλης διαθέσεις, τὰς δὲ ψυχὰς τοῦ αἰωνίου νοῦ ὑποτιθέναι. Ἔνθεντοι καὶ τὸ τῶν Αἰγυπτίων δόγμα παρ᾽ Ἡροδότῳ (1), τῶν πρώτων ἀθανάτους τὰς ψυχὰς πρεσβευσάντων, οὕτω τοῖς σοφοῖς ἀναπτύσσεται, ὡς εἴγε μετὰ τὰς ἐνταῦθα ἐν διαφόροις σώμασι περιόδους, εἰς τὸν Θεὸν αὐτὸν, ἤτοι τὴν τοῦ κόσμου ψυχὴν ἐπιστρέφειν ἐκείνας ἐνόμιζον, ὡς ἰδεῖν ἐστὶ παρ᾽ Ἰαμβλίχῳ (2). Αὕτη δὲ καὶ ἡ τῶν Χαλδαίων ἦν δόξα (3). Κἀντεῦθεν ἡ πηγὴ τῶν ψυχῶν ἐκείνη παρ᾽ Ἕλλησι, καὶ ὁ κρατὴρ ὁ τοῦ Πλάτωνος (4). Ἀλλὰ καὶ Πυθαγόρας οὐκ ἀσαφῶς ὑπέθετο τὸ τοιόνδε δόγμα, διὰ τῆς τῶν ὄντων φύσεως διϊέναι τὸ θεῖον εἰπών, τὰς ἡμετέρας χωροῦν ψυχὰς καὶ περιέχον (5). Ἀπονέμει δὲ τὸ δόγμα τοῦτο καὶ Πλάτωνι Θεοδώρητος (6). Ὅ,τε Ἀλεξανδρεὺς Κλήμης, θείας εἶναι μοίρας τὴν ἀνθρώπου ψυχὴν, καὶ ἀποῤῥοὴν θείας φύσεως φησὶ κατὰ τὴν τοῦ Πλάτωνος διδασκαλίαν (7). Εἰ καὶ τοὐναντίον ἔοικε μαρτυρεῖν ὁ Πλούταρχος (8). Περὶ γὰρ τῶν Στωϊκῶν οὐδεὶς ἀμφιγνοεῖ, τῶν μοῖραν εἶναι τινὰ θείας φύσεως τὰς ψυχὰς οἰομένων, καὶ θάνατον αὐταῖς συμβαίνειν τὴν εἰς τὸν Θεὸν ἐπανέλευσιν (9). Καὶ τοῖς Μαρκιονίταις δὲ καὶ Πρισκυλλιανισταῖς ἔδοξε, καὶ πολλοῖς τῶν Ἀράβων, τοῖς παρηκολουθηκόσιν Ἀριστοτέλει,

---

(1) *Βιβλ. Β΄. Κεφ. ΡΚΓ΄.*

(2) *Βιβλ. Η΄. περὶ μυστηρ. Κεφ. ΙΗ΄.*

(3) *Ἐν τῷ περὶ ἀρχ. καὶ συστάσ. τῶν σωμ. ὄντ. Σελ. ζ.*

(4) *Ἐν Τιμαίῳ μέτιθι τὴν Ἰακώβου Θωμασ. διάλεξ. προστεθ. ταῖς αὐτοῦ μελέτ. περὶ ἐμπρησμ. τοῦ παντ. κατὰ Στωϊκ. Σελ. 249.*

(5) *Κικ. περὶ φύσ. θεῶν Κεφ. Α΄.*

(6) Περὶ θεραπ. τῶν παρ᾽ Ἕλλησι παθ. ὁμιλ. Ε. τῶν ποιημ. Τόμ. Δ.

(7) *Βιβλ. Ε. τῶν στρωμ.*

(8) *Δ. τῶν Ἀρεσκ.*

(9) Ὅρα *Βιλλέλμ. Σλευτέριον ἐν τῇ ἰδέᾳ τῆς φιλοσ. τῶν Στωϊκ.*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ϗ τὸν ἐνεργείᾳ νῦν ἡμῶν αὐτὸν εἶναι τὸν Θεὸν λέγεσιν. Ἐκ δὲ δὴ τέτε ϗ ἡ κατά τινας τῶν περὶ Μωάμεθ δυσσέβεια, τῶν οἰομένων ἅπαντα τὰ ὄντα τὸν Θεὸν εἶναι (1). Καὶ ἡ τῦ Ἀλμαρίκε κακοφροσύνη, πάντα ὁ Θεὸς, ὁ Θεὸς τὰ πάντα· ὅ,τε δημιεργὸς ϗ τὸ δημιέργημα ταυτὸν ἐςίν· ὁ αὐτὸς ϗ δημιεργεῖ ϗ δημιεργεῖται· διὸ ϗ τέλος τῶν πάντων εἶναι τὸ θεῖον λέγεται, ὅτι πάντα πρὸς αὐτὸν ἐπιςρέψει, ὅπως ἐν αὐτῷ ἄνευ τροπῆς ἠρεμήσῃ, ϗ ἄτομον ἓν ϗ ἄτρεπτον τὰ πάντα διαμενεῖ (2). Τελευταῖον δὲ Σινῶντε, ϗ Σιαμησίων, ϗ Ἰαπονησίων γένη τὰς ψυχὰς φρονῦσι λεπτόν τινα εἶναι αἰθέρα ἐγκόσμιον, αὐτὸν δὲ ϗ τὸν Θεὸν, ϗ ὐδὲν ἕτερον.

Ἐκ τέτων οὖν φανερὸν, ἐξ οἵων δήποτε πηγῶν ϗ Σπινόζας τὰ θολερὰ τῆς ἀσεβείας αὐτῦ ἠρύσατο νάματα. Οὗτος γὰρ τορῶς ἀποφαίνεται, τὴν ἀνθρωπίνην ψυχὴν μοῖραν εἶναι τῦ ἀπείρε νῦ τῦ Θεῦ, ϗ ὅτε, φησὶ, φαμὲν τὴν ἀνθρωπίνην ψυχὴν τῦτο, ἢ ἐκεῖνο νοεῖν, οὐδὲν ἄλλο φαμὲν, ἢ ὅτι Θεὸς, οὐχ ᾗ ἄπειρός ἐςιν, ἀλλ᾽ ᾗ διὰ τῆς φύσεως τῆς ἀνθρωπίνης ψυχῆς ἀναπτύσσεται, τυτέςιν ᾗ τῆς ἀνθρώπε ψυχῆς τὴν ὐσίαν συνίςησι, ταύτην, ἢ ἐκείνην ἔχειν τὴν ἰδέαν (3). Ἡ δὲ παρ᾽ αὐτῷ ΙΑ΄. Πρότ. τρανώτερον ἀναπτύσει, τί τὸ συςατικόν ἐςιν αὐτῆς τῆς ψυχῆς, ϗ τὸ πρώτιςον, φησὶν, ὃ τὸ κατ᾽ ἐνέργειαν εἶναι τῆς ἀνθρώπε ψυχῆς συνίςησιν, ὐδὲν ἕτερον ἐςὶν, ἤπερ ἡ ἰδέα τινὸς ἐνεργείᾳ ὑφιςαμένε. Ἐν δὲ τῇ ΙΓ΄. Προτ. τὸ ἀντικείμενον, φησὶ, τῆς ἰδέας, τῆς συνιςώσης τὴν ἀνθρώπε ψυχὴν, τὸ σῶμα τυγχάνει, τυτέςιν ὡρισμένος τις τρόπος ἐκτάσεως ἐνεργείᾳ ὑφεςὼς, ϗ ἄλλο ὐδέν.

Ἀλλ᾽ ὅρα ὅπως αὐτὸς ἑαυτῦ τοῖς θεωρήμασιν ἀντιβαίνει ὁ κατάπτυςος οὗτος, ϗ γνῶθι τὴν ἀπάτην ὑφ᾽ ἑαυτῆς ἀνατρεπομένην. Ἐν τῷ Α΄. μέρει τῆς αὐτῦ ἠθικῆς Προτ. ΚΑ΄. τοιάδε γράφει. Πάντα τὰ ἐκ τῆς ἀπολύτε φύσεως προσόντος τινὸς τῶν ἐν τῷ Θεῷ ἑπόμενα, αἰώνιά τε, ϗ ἄπειρα. Ἡ δὲ οὐσία ὐχ ὅπως τῆς ψυχῆς μόνης, ἀλλὰ ϗ ὅλε τῦ ἀνθρώπε, συνίςαται ὑπό τινων διαθέσεων τῶν τῦ Θεῦ προ-

(1) *Παρὰ Πέτρῳ δὲ Λα βάλλε Τόμ. Γ΄.*

(2) *Ὅρα Γερσόν. περὶ συμφ. μεταφυ. σὺν τῇ Λογ. μέρ. Δ. τῶν ποιημ.*

(3) *Μέρ. Β΄. Πρ. ΙΔ΄. Πορίσματι.*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σόντων (ὁ αὐτ. μέρ. Β΄. Πορ. Πρ. Ι΄.). Οὐκ ἄρα μόνη ἡ ἀνθρώπου ψυχὴ, ἀλλὰ καὶ ὅλη αὐτοῦ ἡ οὐσία αἰώνιός τε καὶ ἄπειρος, ἢ οὐχὶ τουτὶ ἕψεται; Ἀλλὰ τοῦτο ψευδές. Ἔστιν ἄρα, ἐν οἷς ἐκεῖνος φησὶ, τοῦ ψεύδους ὁ γενναῖος τις τῷ ὄντι πατὴρ καὶ συνήγορος. Εἶτα ἡ τοῦ Θεοῦ φησὶν ἰδέα, ἐξ ἧς ἄπειρα ἀπειροτρόπως ἕπεται, μία τις ἂν εἴη καὶ μόνη (ὁ αὐτὸς Πρ. Δ΄. μέρ. Β΄.). Ἀλλὰ ἡ ἀνθρωπίνη ψυχὴ ἐστὶν ἡ τοῦ ἀνθρωπίνου σώματος ἰδέα ἐν τῷ νῷ τοῦ Θεοῦ. Οὐδὲν ἄρα ἄλλο ἔσται παρ' αὐτὴν τὴν μόνην ἰδέαν. Ὅ,τι δ' ἐν τῷ Θεῷ, Θεός ἐστι, καὶ ψυχὴ ἄρα ἡ ἀνθρώπου Θεός ἐστιν. Ἀλλὰ γὰρ ἡ μοναδικὴ αὕτη ἰδέα παρίστησί τε Θεοῦ τὴν οὐσίαν, καὶ πάντα τὰ ἐξ αὐτῆς τῆς οὐσίας ἀναγκαίως ἑπόμενα (ὁ αὐτ. μέρ. Α΄. Πρ. Γ΄.)· ἕπεται δὲ ἄπειρα τρόποις ἀπείροις (αὐτ. Πρ. Δ΄.)· παρίστησιν ἄρα ἄπειρα τρόποις ἀπείροις. Οὐδὲν ἄρα ἡ ἀνθρώπου ψυχὴ ἀγνοεῖ, οὐδέ τινα ἔχει συγκεχυμένην, καὶ μὴ ὁλοσχερῆ ἰδέαν. Ἀλλ' ἔχει δήπου μὴ ὁλοσχερῆ τὴν ἰδέαν τοῦ αὐτῆς σώματος (Πρ. ΚΔ΄. αὐτόθ.), καὶ τῶν ἐκτὸς (αὐτ. Πρ. ΚΕ΄.), καὶ τῆς διαμονῆς τοῦ ἰδίου σώματος (αὐτ. Πρ. Λ΄.), καὶ ἀπείρων ἄλλων πραγμάτων, ὡς πανταχοῦ γράφει. Ἆρ' οὐκ ἔστιν ἡ μοναδικὴ ἐκείνη ἰδέα.

Παρὰ ταῦτα, εἰ ταῦθ' οὕτως ἔχει, ἡ ἀνθρώπου ψυχὴ τῇ τοῦ Θεοῦ ἰδέᾳ συνεκτανθήσεται, καὶ ὥσπερ δὴ ὁλοσχερῆ τε καὶ ἀκριβῆ τὴν ἑαυτοῦ ἰδέαν ἔχει τὸ Θεῖον, καὶ πάντων τῶν ἀναγκαίως ἐκ τῆς αὐτοῦ ἑπομένων οὐσίας (ὁ αὐτὸς μέρ. Β΄. Πρ. Γ΄.), ἕξει καὶ ἄνθρωπος· καὶ τοῦτο δὲ τὸ ἐπιφερόμενον τοσούτῳ ἀπέχει τοῦ ἀπαρέσκειν Σπινόζᾳ, ὥστε καὶ λαμπρᾷ τῇ φωνῇ διακηρύττειν καὶ ἀποδεικνύειν, αὐτὸν ἐκεῖνο πειρᾶσθαι, ἡ ἀνθρωπίνη ψυχὴ, λέγοντα, αὐτοτελῆ τε καὶ πλήρη ἔχει τὴν γνῶσιν τῆς Θεοῦ οὐσίας τῆς αἰωνίου τε καὶ ἀπείρου (Πρ. ΜΖ΄. μέρ. Β΄.). Ἀντὶ δὲ Θεοῦ νοεῖ τὸ ἀπολύτως ἄπειρον ὂν, ἤτοι οὐσίαν συναπαρτιζομένην ἐξ ἀπείρων προσόντων, ὧν ἕκαστον τὴν αἰώνιόν τε καὶ ἄπειρον οὐσίαν ἐκφέρει (μέρ. Α΄. ὁρ. ς΄.). Τοιγαροῦν ἡ ἀνθρώπου ψυχὴ αὐτοτελῆ καὶ πεπληρωμένην ἔχει περίνοιαν τοῦ ἀπολύτως ἀπείρου ὄντος, ἤτοι τῆς ἐξ ἀπείρων προσόντων συγκροτουμένης οὐσίας, καὶ πάντων τῶν ἀναγκαίως ἐξ αὐτῆς ἑπομένων. Ὁ μὲν οὖν τηλικαύτην πλουτῶν τὴν γνῶσιν πάντως οὐδὲν ἀγνοεῖ, ἐπ' οὐδενός τε σφάλλεται. Ἀλλ' ἔστιν ἄπειρα, ἅπερ ψυχὴ ἀγνοεῖ, καὶ οἷς ἀπάτῃ ὑπόκειται, ὃ καὶ αὐτὸς δώσει, εἰ μὴ εἶναι πάντῃ καταγέλαστος ἕλοιτο. Οὐκ ἄρα τοῦτο ἐστὶν, ὃ ἐκείνῳ δοκεῖ. Ἡράκλεις οἵα δὴ πάλιν ὁ νοῦς ἐκεῖνος ὁ ἀλιτήριος ὅσαι ὧραι συ-

νείχετο, αὐτὸς παρ' ἑαυτοῦ τὰ ἑαυτοῦ ἀνατρέπων, ϗ ἅπερ ἀναιρῶν ἦν πάλιν τιθέμενος, τὰ αὐτὰ ἀναμασσώμενός τε, ϗ ἀπεμῶν, ϗ πάλιν ἐπανεσθίων.

Ἀλλ' ἰδὲ νῦν ἡμῖν ϗ αὐτὸς ὁ τῶν ἀσεβημάτων ταξίαρχος, ϗ οἱ ὑπὸ ταῖς σημαίαις ἐκείνου μισθοφοροῦντες, Τολάνδος, ϗ Ποϊρέτος, ϗ ἄλλοι, ϗ τὰς θεοπνεύστους γραφὰς καταχραίνουσιν, ἵνα σεμνοτέραν αὐτῶν τῇ ἐκείνων περιβολῇ καταστήσωσι τὴν ἀσέβειαν. Ἀπορροὴν εἶναι φύσεως τῆς ὑπερτάτης ϗ αὐτὰ, φασὶν, ἐκδιδάσκει τὰ παρ' ἡμῖν ἱερὰ γράμματα. Τὸ γὰρ πνοὴν ζωῆς εἰς τὸ πρόσωπον τοῦ Ἀδὰμ τὸν Θεὸν ἐμφυσῆσαι (1), ϗ τὸ οὐ μὴ μείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις (2), ϗ τὸ εἰ βούλοιτο συνέχειν, ϗ τὸ πνεῦμα παρ' αὐτῷ καταχεῖν, τελευτήσει πᾶσα σάρξ ὁμοθυμαδὸν, πῶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται, ὅθεν ϗ ἐπλάσθη (3)· ϗ τὸ ἀνταναλεῖς τὸ πνεῦμα αὐτῶν, ϗ ἐκλείψουσι, ϗ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν, ἐξαποστελεῖς τὸ πνεῦμά σου, ϗ κτισθήσονται κτ: (4)· καὶ τὸ ἐπιστρέψει ὁ χοῦς ἐπὶ τὴν γῆν ὡς ἦν, ϗ τὸ πνεῦμα ἐπιστρέψει πρὸς τὸν Θεὸν, ὃς ἔδωκεν αὐτό (5)· καὶ τὸ ἐν αὐτῷ ζῆν ἡμᾶς, ϗ κινεῖσθαι, ϗ εἶναι, ὅπερ ἔφησε Παῦλος (6), ταῦτα, φασὶ, λαμπρῶς ἀποδείκνυσι τὸ λεγόμενον, μοῖραν εἶναι τὴν ἀνθρώπου ψυχὴν τινὰ θείας φύσεως.

Ἀλλὰ ταῦτα μὲν τοιαῦτα ἐστὶν, οἷα, εἰ μή τινες πάνυ κοῦφοι εἶεν τὸ φρόνημα, ᾐσχύνθησαν ἂν εἰς κατασκευὴν τῆς κακοδοξίας αὐτῶν προχειρίσασθαι, μὴ πάντῃ ἀδαεῖς τῆς Ἑβραίων φωνῆς τυγχάνοντες, ἧς τρόποι τινὲς εἰσὶν ἰδιάζοντες τὰ ἐκφερόμενα. Ἔθος γὰρ τοῦτο τῶν ἱερῶν γραμμάτων ἐπίσημον, ὡς πάντες ἴσασιν, οἱ κἂν ἄκρῳ δακτύλῳ τούτων γευσάμενοι, τὸ τὰς πράξεις τῶν δευτέρων αἰτίων ἐπὶ τὴν πρωτίστην ἀμέσως ἀνάγειν, καὶ πρὸς Θεὸν ἀνατιθέναι, οἷα δὴ πρωταίτιον ὄντα, ϗ τοῖς ἄλλοις τὸ εἶναι καὶ σώζεσθαι παρεχόμενον (7). Ἀλλ' ἐκ τούτων οὐδὲν μᾶλλον ἐπιβάλλειν ἄν τις εἰκότως ἔχοι, Θεοῦ μέρη

---

(1) Γεν. Β΄. Ζ΄.

(2) Αὐτ. Κεφ. Ϛ΄.

(3) Ἰώβ. Κεφ. 34.

(4) Ψαλμ.

(5) Ἐκκλησ. Κεφ. ΙΒ΄. Ζ΄.

(6) Πράξ. ΙΖ΄.

(7) Ὅρα Καλμέτ. Λεξικ. τῆς γραφ. ἄρθρ. ψυχ.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἶναι τὰ ἐν τῇ φύσει, ἢ καὶ ἀνέμους, καὶ καταιγίδας, καὶ κέδρους τὰς ἐν τῷ Λιβάνῳ, καὶ ὄρη τὰ ἐπὶ τῆς γῆς, μέλη Θεοῦ εἶναι λέγοι, ὅτι τοῦ Θεοῦ εἶναι καὶ ταῦτα ἐν ταῖς ἱεραῖς γραφαῖς πολλαχοῦ σεσημείωται. Θαυμάζειν δὲ ἔπεξιν εἰκότως, ὅτι τοῦτο ὁ αὐτὸς Σπινόζας ἐν τῷ θεολογικο-πολιτικῷ συγγράμματι αὐτοῦ προσσημειωσάμενος, μηδ᾽ ὑπὸ ἑτέρου παιδευθῆναι χρήζων, εἶτα ἐπιλελῆσθαι δοκεῖ, λήσειν τυχὸν τοὺς ἄλλους ἐπιχειρῶν, καίτοι προφανέσιν ἀντιφάσεσιν ἐκτραχηλιζόμενος. Τῷ ὄντι δὲ διαπρυσίως τε καὶ ἀμφιλαφῶς τῶν γραφῶν κηρυττόντων, ἁπάντων εἶναι τῶν ἐν τῷ συντάγματι τῷδε τὸν Θεὸν δημιουργόντε καὶ κτίστην, καὶ ταῦτα μὴ ἀπ᾽ αἰῶνος, ἀλλ᾽ ἐν χρόνῳ ἀπὸ τοῦ μηδενὸς ἐπὶ τὸ εἶναι παραγαγεῖν, καὶ τούτων ἄρχειν παντελευθέρως, καὶ τὰ τοιαῦτα, εἴτις καὶ μικρᾷ προσοχῇ χρησάμενος τὰ λεγόμενα ταῦτα ἀναλογιζόμενος ἀποδέχοιτο, πῶς οὐκ ἂν ἐν τοῖς αἰσχίστοις τάξειε ψεύδεσι, καὶ κουφοτάτοις πλάσμασι, τὸ ὑπὸ τῶν θεοφορήτων συγγραφέων ἐκείνων δοξάζεσθαι, τὸν Θεὸν ταῦτα τυγχάνειν τὰ ὁρατὰ καὶ κινούμενα; Ἀλλ᾽ ὁ Ποϊρέτος, καίτοι τοῖς ἀμφὶ Σπινόζαν συνεκμανεὶς, ἄκων πως οἱονεὶ ἔπειτα ὑπὸ τῆς ἱερᾶς ἀληθείας ἀναγκαζόμενος, ἑαυτοῦ τε καὶ τῶν ὁμοφρονούντων ἄγνοιαν παντελῆ κατηγορεῖ τοῦ φρονήματος (1). Αὐτὸς γὰρ παρ᾽ ἑαυτοῦ διαπυνθανόμενος, τί ποτ᾽ ἂν ἄρα εἴη ἡ πρόβλυσις αὕτη τῆς ψυχῆς ἐκ Θεοῦ, μὴ ὁμολογῆσαι, ἣν περὶ τοῦ τοιούτου ἄγνοιαν ἔχει, οὐδαμῶς ἔσχεν. Ἀλλ᾽ εἴτις, φησὶ, βαθύτερον ἐξετάζοι, τίς ἡ ἀπὸ Θεοῦ αὕτη ἀποῤῥοή τε καὶ πρόβλυσις τῆς ψυχῆς, τῆς ἐξ αὐτοῦ ἐξιούσης τε καὶ τικτομένης, ἴσωμοι τοῦτο ἀκριβέστερον μὴ ἐξεῖναι νοεῖν. Οἶμαι δὲ, ὅτι οὐδὲ τῶν κτισμάτων οὐδὲν ἐν τῷ τῇδε βίῳ διανοίᾳ ἐφικέσθαι ὅλως δύναται τοῦ λεγομένου. Τοσούτου δεῖ τοῦ παρὰ τῶν ἄλλων νοεῖσθαι τὰ ὑπ᾽ αὐτῶν δὴ τούτων τῶν φρονούντων τὰ τοιαῦτα μηδόλως περινοούμενα.

## ΚΕΦΑΛ. Β'.

## Περὶ ἑνώσεως ψυχῆς μετὰ τοῦ σώματος.

### Πρότ. Κ'.

„Ἑνοῦται ἡ ψυχὴ τῷ σώματι, ἐν ᾧ τὸ ζῆν τῷ ἀνθρώπῳ περίεστι.

(1) Ἐν τῷ Α'. περὶ θείας Οἰκον. Κεφ. Γ'. §. β'. §. κ'. §. κδ'. κτλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006